τῆς θεογνωσίας φωτί), τὸ σὸν ἀληθινὸν ἴδοιμεν φῶς, τὸν σύμφυτόν σου καὶ τοῦ σοῦ πνεύματος λόγον, ὃν ἀπαστράπτεις ἀπλήτῳ μαρμαρυγῇ, ἐκ μιᾶς ἀποστίλβων τῆς παρὰ σοὶ μακαρίας λαμπρότητος. πάντως δὲ οὐδεὶς ἂν οἶμαι θεοῦ οἶκον τὸν ὁρώμενον εἰρῆσθαι κόσμον ἀρνήσεται ἢ οὗτος, ὃς καὶ Μωϋσῆν πιστὸν ἐν ὅλῳ τῷ τοῦ θεοῦ οἴκῳ ἀκούων, ἀπὸ μὲν τοῦ ὄντος τὴν διάνοιαν ἀποπλανήσει, οὗ καὶ τὴν δημιουργίαν θεοφιλῶς Μωϋσῆς ἀναγράψας θεράπων πιστὸς τῷ θεῷ κεχρημάτικεν, ζητεῖ δὲ θεοῦ ἕτερον οἶκον ἴσως μυθώδη. κἂν ἐπὶ τὸν νόμον ἀποδραμεῖται τῇ διανοίᾳ, οὐκ οἶκον, ἀλλ' οἴκῳ προστάγματα πρόσφορα καὶ οἰκουροῦντας καὶ οἰκουρὸν ἐπισκοποίη, ἐμβροντησίᾳ φερόμενος, δέον τὸ ἐμποδὼν διαβλέπειν χρυσίον μηδ' ἀλλαχοῦ τοῦτο ἀνερευνᾶσθαι τυφλοῖς ὅμοια· οὐδ' αὖ γε πάλιν ἐν τῷ παρόντι φωτὶ φῶς τις ὀφθῆναι αὐτῷ θεοῦ δεηθείη παρὰ τὸ ἐνυπόστατον τῆς δόξης ἀπαύγασμα, ἀφ' οὗ καὶ πᾶν ἀνθρώποις ἄλλο σώφρονος βίου φῶς ἀποπάλλεται, πλὴν εἰ μήπου λημῶν ἤδη λαμπρῶς καὶ πρὸς τὸ φῶς τοῦτο δυσανασχετῶν ἱκανῶς καὶ ἀμβλυώττων ἑτέρου φωτὸς συμμέτρου ἐπιζητοίη ὑπόστασιν, γλαυκῶν εὐχῆς ἔργον καὶ νυκτικοράκων ἑαυτῷ συντελούμενος. [14] ἀλλὰ γάρ, ὅ με μικροῦ τῇ τοῦ λόγου παρέδραμεν ὁρμῇ ἀνεξέταστον, δίκαιον ᾠήθην ἓν τούτοις προσθεῖναι, ὡς ἂν ᾖ τὸ ἀνελλειπὲς τοῖς παροῦσι προσποριζόμενον. ἐπισκεπτέον γάρ, ὡς « ποτιεῖς » εἶπε « τοῦ χειμάρρου » ἀλλ' οὐ « μεθύσεις » καὶ « τῶν τρυφῶν » κατὰ πλῆθος, ἀλλ' οὐ κατὰ τὸ ἐνιαῖον τῆς προφορᾶς, ὅτι μηδὲ δραστήριον τὰ τοῦ Μωϋσέως ἐντάλματα πόμα μηδὲ τέλεον αὐτῶν ἐξιστῶντα τὰ ἐν ἑαυτοῖς τὸν ποιοῦντα αὐτὰ ζῆν [fol. 41 r.] κατεπαγγελλόμενα, ἀλλ' ἠρεμαῖον καὶ κατὰ βραχὺ ἀναψῦχον καὶ πρὸς τὴν κατὰ Χριστὸν τελειότητα ἐπαναφέρον τοὺς νηπιωδῶς αὐτοῖς προσανέχοντας μηδὲ δι' ἑνὸς ἐξαρκοῦντα πρὸς κάθαρσιν ἁγνισμοῦ, ὁποῖον τὸ καθ' ἡμᾶς τῶν ἁμαρτημάτων λυτήριον, ἀλλὰ πολλοῖς κεχρημένα καὶ διαφόροις τρυφαῖς μᾶλλον προσεοικότα τῷ τῆς πληρώσεως ἐφημέρῳ, μηδὲν δὲ κεκτημένα σφοδρόν τε καὶ διαρκὲς πρὸς τὴν τελείαν τῶν ἁμαρτημάτων κατάκλυσιν.

[15] παράτεινον τὸ ἔλεός σου τοῖς γινώσκουσί σε καὶ τὴν δικαιοσύνην σου τοῖς εὐθέσι τῇ καρδίᾳ.

προστέτηκε ταῖς αὐταῖς τῶν πρώην δεήσεσιν ὁ τῇ τοῦ πνεύματος ἐλλάμψει τὸ μέλλον κατωπτευκὼς πόρρωθεν μὴ διασκεδασθῆναι τὸν τοῦ θεοῦ ἔλεον, ἀλλ' ἐπὶ τὸ μᾶλλον παρατεινόμενον βραβεῦσαι τοῖς πρὸς ὑποδοχὴν τὴν καρδίαν εὐθύνασι τὴν διὰ σαρκὸς ἔλευσιν τούτου ἐκείνου, ὃς ἐγενήθη ἡμῖν σοφία ἀπὸ θεοῦ, δικαιοσύνη τε καὶ ἁγιασμὸς καὶ ἀπολύτρωσις καὶ εἴ τι ἕτερον ὁ πρὸς τρίτον οὐρανὸν καὶ τὸν παράδεισον φθάσας ἀνύμνησε. δικαιότερον γὰρ οὕτω τῷ ῥητῷ ἐπιβάλλειν ἢ κατὰ τὸν πρόχειρον τοῖς πολλοῖς νοῦν, εἴπερ πνευματικῶς τὸν νόμον νοεῖν κελευόμεθα, ὃν καὶ σκιὰν τῶν μελλόντων νοεῖν ἐπέγνωμεν αὐτῷ τούτῳ τῷ θείῳ Παύλῳ πειθόμενοι. νόμος δὲ πάντως καὶ τὰ παρόντα, ἂν μὴ ῥαθύμως καὶ διακένως τῆς ἀληθοῦς ἐπακούωμεν σοφίας,

1. σύμφυτον σοῦ. 4. Num. 12,7. 5. ὄντο̄ς. 8. ἀποδραμηται ohne Akz. 12. Hebr. 1,3. 17. ἓν: ἐν M. 21. Lev. 18,5; Röm. 10,5 || ἠρεμαῖον. 24 ff. Hebr. 7,27; 9,12. 33–34. 1 Cor. 1,30; 2 Cor. 12,2. 38. Coloss., II, 17.